περὶ ἐκκλησιαστικῆς ἱστορίας, καὶ ἕτερον περὶ Γεωγραφίας, ἐν ᾧ ὑπερτερεῖ πολλῶν γεωγράφων ἐν τῇ περιγραφῇ τῆς Πελοποννήσου, καὶ τῆς ἄλλης Ἑλλάδος, ὡς περίεργος περιηγητής, καὶ αὐτόπτης πάσης γενόμενος.

Κωνσταντῖνος Κανταχουζηνὸς Σόλνικος, ἀνὴρ ἐλλόγιμος, εἰδήμων τῆς ἑλληνικῆς καὶ λατινικῆς καὶ ἰταλικῆς γλώσσης, ἱκανῶς ἐννοῆσαι τὰ συγγράμματα καὶ τῶν θύραθεν φιλοσόφων καὶ τῶν ἱερῶν πατέρων καὶ θεολόγων τῆς ἐκκλησίας· περιηγήσατο σχεδὸν πᾶσαν τὴν Εὐρώπην.

Κωνσταντῖνος Ἰουλιανὸς Βυζάντιος, ἐξ εὐγενῶν προγόνων καταγόμενος, ἀνὴρ ἐλλόγιμος, εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, ἱκανῶς νοῆσαι τὰ συγγράμματα καὶ τῶν θύραθεν φιλοσόφων καὶ τῶν πατέρων τῆς ἐκκλησίας.

Ἰωάννης Πορφυρίτης Βυζάντιος, ἀνὴρ ἐλλόγιμος, εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, πεπαιδευμένος τήν τε θύραθεν καὶ καθ' ἡμᾶς παιδείαν, ἱκανὸς κατανοῆσαι τὰ ἱερὰ συγγράμματα τῶν πατέρων τῆς ἐκκλησίας, καὶ τῶν θύραθεν φιλοσόφων.

Ἱερόθεος Βυζάντιος ὁ Κομνηνός, μητροπολίτης Δρύστρας, ἀνὴρ θεοσεβής, κόσμιος τὰ ἤθη καὶ πολλαῖς ἀρεταῖς βίῳ πρεπούσαις χριστιανικῷ κεκοσμημένος, ἐλλόγιμος, πολυμαθής, εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς, ἰταλικῆς, καὶ ἑβραϊκῆς, καὶ ἀραβικῆς φωνῆς, καὶ κατὰ πᾶσαν ἰδέαν λόγου καὶ ἐπιστήμης τῆς τε θύραθεν καὶ τῆς καθ' ἡμᾶς πεπαιδευμένος· γέγονεν ἀκροατὴς τῶν καθηγητῶν τῆς ἐν Κωνσταντινουπόλει σχολῆς, συνδιέτριψε δὲ ἱκανὸν χρόνον καὶ τοῖς ἐν Ἰταλίᾳ σοφοῖς, καὶ σχεδὸν ἅπασαν τὴν Εὐρώπην περιηγήσατο· συνέγραψεν ἁπλῇ διαλέκτῳ ἱστορίαν τοῦ ἁγίου Ὄρους τοῦ ἐν τῷ Ἄθωνι, ἣ καὶ τύποις ἐκδέδοται· τὸν βίον μετήλλαξε ᾳψιθ'. ἐν Βουκουρεστίῳ.

Γεννάδιος μητροπολίτης Ἡρακλείας, ἀνὴρ θεοσεβής, σεμνὸς καὶ χριστιανικῇ πολιτείᾳ ἐμπρέψας, εἰδήμων τῆς ἑλληνικῆς διαλέκτου, καὶ τῶν θείων γραφῶν ἔμπειρος.